www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΣΑΒΒΑΪΤΟΥ,
ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ
(ἑορταζομένου τῇ Τρίτῃ τοῦ Θωμᾶ)



Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλαγίῳ αἰτήσει τοῦ πανοσιολογιωτάτου
ἀρχιμανδρίτου κ.Εὐδοκίμου,
Πνευματικοῦ τῆς Ἱερᾶς Λαύρας τοῦ Ὁσίου & θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

* Ἅγιον Ὄρος Ἄθως * ¸βθ´ * 2009 *



ΤΗ ΤΡΙΤ῾Η ΤΟΥ ΘΩΜΑ,
ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΤΕΦΑΝΟΥ ΣΑΒΒΑΪΤΟΥ, ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ
*** * ***

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος.α΄ Τῶν οὐρανίων ταγμάτων.

Τοῦ θείου Σάββα ἡ Λαύρα,
λαμπρῶς εὐφραίνεται,
ὅτι ἐν τῷ στεφάνῳ,
τῶν Ἁγίων κατέχει,
τὸν Στέφανον ὡς ἄνθος πάνυ τερπνόν,
θείαν χάριν ἐκπνέοντα,
ἐκ τῶν ἱδρώτων καὶ πόνων ὑπὲρ Χριστοῦ,
ὑφ' Οὗ θαύμασι τετίμηται.

Ὁ θεῖος ἔρως καιρίως,
ψυχήν σου ἔτρωσε,
ἐκ πρώτης ἡλικίας,
καὶ ἐρήμου ὁ πόθος,
κατέφλεξέ σε ὅλον· ὅθεν σοφῶς,
ἀπορρίψας τὰ γήϊνα,
τοῦ θείου Σάββα τὴν Μάνδραν ἐραστικῶς,
μάκαρ Στέφανε κατείληφας.

Ἔχων ὡς πρότυπον μέγα
καὶ βάσιν ἄσειστον,
βίον τοῦ θείου Σάββα,
εἰς ἐρήμους ἐχώρεις,
ζητῶν Ἠγαπημένον σοι Ἰησοῦν,
ὡς ἡ νύμφη τοῦ Ἄσματος,
Στέφανε μάκαρ γευόμενος μυστικῶς,
οὐρανίων ἐπιλάμψεων.

Ὢ! τῆς προνοίας Κυρίου,
δι' ἧς πεφύλαξαι,

Στέφανε ἐκ κινδύνων,
τῶν ἀθέων νομάδων·
ἀόρατος γὰρ Πάτερ ἦσθα αὐτοῖς,
ὡς ἀσώματος ἄγγελος,
ἀποδεικνύων τοῦ Πνεύματος τὴν ἰσχύν,
ἥτις σὲ περιεφύλαττε.

Θαυματουργίαις ποικίλαις,
καὶ προοράσεσι,
Στέφανε ἐτιμήθης,
ἐκ Κυρίου δικαίως,
εἰπόντος Ἀποστόλοις, ὅτι πολλά,
θαυμαστὰ ἐπιστέψουσι,
ζωὴν τῶν πίστει βιούντων καὶ τὸ Αὐτοῦ,
δοξαζόντων θεῖον Ὄνομα.

Οἱ νῦν οἰκοῦντες τὴν Λαύραν,
συνασκηταί σου θερμῶς,
Στέφανε πρὸς Δεσπότην,
σὲ προβάλλομεν πρέσβυν,
σὺν Σάββᾳ, Μαρτυρίῳ,
καὶ τοῖς λοιποῖς,
ἐν Αὐτῇ ἁγιάσασιν,
ὅπως τὴν χάριν τοῦ Πνεύματος δῷ ἡμῖν,
εἰς εὐάρεστον τελείωσιν.

Δόξα. Ἦχος πλ.β΄.

Σήμερον ὁ θεοφόρος πατὴρ ἡμῶν Στέφανος
ἡμᾶς συγκαλεῖται, ἀδελφοί, πρὸς ἑστίασιν
πνευματικήν,
ὁ τοῦ πανσεβάστου Σάββα χριστόδοτος καρπός,
καὶ τῶν καθ’ ἡμᾶς ἀσκητῶν ἡ πολύχρους
ὡραιότης.
Οὗπερ τὴν κάραν ἐξ ἀνθέων λόγων πτωχῶν,
στεφανοῦντες ὀφειλητικῶς εἴπωμεν.
Χαίροις, τῆς ἡμετέρας σωσιψύχου Μάνδρας γόνος,
ὁ ὑπὲρ τὴν φύσιν ἀγγελικῶς βιώσας,

καὶ τῶν θεοειδῶν ἀρετῶν οἶκος πάγκαλλος γενόμενος.
Χαίροις ὑπόδειγμα μοναστικῆς καρτερίας,
καὶ εἰκὼν πανάριστος ἀγάπης θεϊκῆς.
Χαίροις κληρονόμε τοῦ ποθητοῦ Παραδείσου,
ἐν ᾧ συνευωχούμενος μετὰ καὶ τῶν λοιπῶν
Σαββαϊτῶν ὁσίων, μέμνησθε δεόμεθα τῶν ὑμᾶς
τιμώντων χαρμοσύνως,
ὅπως γενώμεθα κληρονόμοι τῆς Βασιλείας
τοῦ στεφοδότου καὶ γλυκυτάτου Χριστοῦ.

Καὶ νῦν.Τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Τῶν θυρῶν κεκλεισμένων,
ἐπέστης Χριστὲ πρὸς τοὺς Μαθητάς.
Τότε ὁ Θωμᾶς, οἰκονομικῶς οὐχ εὑρέθη μετ' αὐτῶν·
ἔλεγε γάρ· Οὐ μὴ πιστεύσω, ἐὰν μὴ ἴδω κἀγὼ τὸν Δεσπότην· ἴδω τὴν πλευράν, ὅθεν ἐξῆλθε τὸ αἷμα, τὸ ὕδωρ, τὸ βάπτισμα· ἴδω τὴν πληγήν, ἐξ ἧς ἰάθη τὸ μέγα τραῦμα ὁ ἄνθρωπος,
ἴδω, πῶς οὐκ ἦν πνεῦμα, ἀλλὰ σὰρξ καὶ ὀστέα.
Ὁ τὸν θάνατον πατήσας, καὶ Θωμᾶν πληροφορήσας,
Κύριε, δόξα σοι.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ ὁσιακὰ Ἀναγνώσματα
Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. 3, 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν

αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ

ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Τοῦ φιλερήμου Βαπτιστοῦ, ἑπόμενος ταῖς τρίβοις,
ὅσιε Στέφανε, ὡς καὶ ὁ πατὴρ ἡμῶν Σάββας,
ἐκ παιδὸς ᾖρας τὸν ἐλαφρὸν ζυγὸν τῆς ἀσκήσεως,
Θεὸν μόνον ποθῶν ἐγκλεῖσαι ἐν τῇ καρδίᾳ σου.
Ὅθεν ὁ φιλόδωρος, ὁ τοῖς ἀξίοις τὰ πρόσφορα παρέχων,
στύλον φωτεινὸν ἀνέδειξέ σε, καὶ καύχημα αἰώνιον τῆς Ἱερᾶς ἡμῶν Λαύρας, ὑπὲρ ἧς μὴ παύσῃ ἱκετεύων τὸν Πανάγαθον.

Ἦχος β΄.

Ὑπακοῇ γνησίᾳ στοιχειούμενος,
καὶ ἀδολότητι καρδίας ἐνασκούμενος,
μακαριώτατε πάτερ Στέφανε,
τὸν κατὰ πνεῦμα ὑπαλείπτην σου ὑπερέβαλες,
τῷ θαυμαστῷ καὶ χριστοδώρῳ βίῳ.
Ὅθεν ἐν παραδείσῳ νῦν εὐφραινόμενος,
μνήσθητι δεόμεθα καὶ ἡμῶν τῶν συμμοναστῶν σου,
τῶν χαρμοσύνως εὐφημούντων τὴν σεβασμίαν
μνήμην σου.

Ἦχος γ.΄

Ὅπου Θεὸς ὁ ἐνεργῶν, τὰ κατὰ φύσιν
μεταποιοῦνται,
καὶ τὰ φαινόμενα ἐνεργοῦσι τοῖς νόμοις τοῦ
Πνεύματος·
ὅθεν καὶ ὁ θεοφόρος Στέφανος ἐν σώματι ὑλαίῳ
συζῶν,
ὡς σίδηρος τῷ θείῳ πυρὶ μετεβλήθη,
καὶ ὅλος φῶς γεγένηται, ἐντεῦθεν μετέχων τῶν
ἀγαθῶν τῆς οὐρανίου Βασιλείας, ἐν ᾗ ἀπαύστως
πρεσβεύει ὑπὲρ τῶν πίστει τιμώντων αὐτόν.

Ἦχος δ΄.

Τῆς ἁγιοσαββαϊτικῆς ἐρήμου θρέμμα σε εἰδότες,
παμμακάριστε Στέφανε,
μᾶλλον σε ἄγγελον ἔνσωμον ἢ ἄνθρωπον
ὀνομάζομεν,
καταπλήσσοντα ἡμᾶς τοῖς ὑπὲρ φύσιν
κατορθώμασι,
δι’ ὧν ἐπισφραγίζεται ἡ πρὸς Θεὸν ὁλοτελὴς
ἀγάπη·
ἧς μετόχους δεῖξον καὶ ἡμᾶς χριστοφιλέστατε,
ταῖς θεοπειθέσι σου πρὸς τὸν Φιλάνθρωπον
ἐντεύξεσι.

Δόξα. Ἦχος πλ.α΄.

Χαῖρε πανοσιώτατε πάτερ καὶ δομῆτορ ἡμῶν
Σάββα,
θεωρῶν ἐν τοῖς ἡγιασμένοις τέκνοις σου,
Στέφανον τὸν μακάριον,
τῆς θείας Λαύρας σου τὸ βλάστημα,
τὸν μιμητὴν τῆς ὑπερθέου βιοτῆς σου,
καὶ συγκληρονόμον τοῦ θεοκτίστου Παραδείσου,
ἐν ᾧ καὶ ἡμᾶς τὰ ταπεινά σου τέκνα,
παρ' ἀξίαν συνεισάγαγε,
ἵνα ὁμοῦ δοξάζωμεν
τὸν ἐν Ἁγίοις ἀναπαυόμενον
καὶ δοξαζόμενον Τρισάγιον Κύριον.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν
οἰκτιρμῶν σου· ὅτι ἐμακροθύμησας, ὑπὸ Ἰουδαίων
ῥαπιζόμενος,
ὑπὸ Ἀποστόλου ψηλαφώμενος,
καὶ ὑπὸ τῶν ἀθετούντων σε πολυπραγμονούμενος.
Πῶς ἐσαρκώθης; πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος;
ἀλλὰ συνέτισον ἡμᾶς, ὡς τὸν Θωμᾶν βοᾶν σοι·
Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ
Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Λαύρα τοῦ θείου Σάββα σκιρτᾷ,
Στεφάνου μνήμην ἑορτάζουσα σήμερον,
ζυγὸν τοῦ Χριστοῦ λαβόντος,
ἀπὸ παιδὸς θαυμαστῶς,
ἕως τέλους βίου βίᾳ φύσεως,
ἐχθρὸν καταλύσαντος,
καὶ Δεσπότην δοξάσαντος,

εὐχαῖς ἀπαύστοις
καὶ ἀσκήσεως σκάμμασιν,
ἐξ ὧν γέγονε,
μοναστὴς παναιδέσιμος.
Νῦν δὲ εἰς τὸν Παράδεισον,
ὁρῶν τὸν γλυκύτατον,
καὶ φωτοβόλον Δεσπότην,
ὑπὲρ ἡμῶν ὡς φιλάδελφος,
αἰτεῖται ἀπαύστως,
δωρηθῆναι θείαν χάριν,
Ἁγίου Πνεύματος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις ὁ τῆς ἐρήμου βλαστός,
Στέφανε πάτερ ἀσκητὰ γενναιόψυχε,
ὁ κλίνας τῷ Ζαχαρίᾳ,
τὸν σὸν αὐχένα σοφῶς,
Σαμουὴλ ὡς ἄλλος τῷ Ἠλεὶ ποτέ·
καὶ τούτου πρὸς Κύριον,
μετατεθέντος ἐξήσκησας,
ἐν θείᾳ Λαύρᾳ,
τύπος πᾶσι γενόμενος,
ἀλλ' ὁ ἔρως σε ἡσυχίας κατέφλεξεν·
ὅθεν εὑρὼν τὸ σπήλαιον,
τῶν ἄθλων σου στάδιον,
ὡς ἐν βαθμῖσιν ἀνῆλθες,
εἰς ἀρετῶν θείαν κλίμακα,
καὶ ἔσχες ἐν πράξει,
ἃ τὸ πρώην θεωρίᾳ,
μόνον ἀκήκοας.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Χαίροις ὁ κατὰ κόσμον νεκρός,
καὶ ἐν Χριστῷ ζῶν χαριτόπνευστε Στέφανε,

ὁ ἔρημον Ἰορδάνου,
περιελθὼν ὡς στρουθός,
τοῦ Χριστοῦ διώκων θεῖον πρόσωπον·
τοῦ Πνεύματος ὄργανον,
καὶ Μαρτυρίου ὁμόψυχος,
ὅστις τὰς θύρας,
ὑπὲρ φύσιν διέβαινε,
τοῦ κελλίου σου,
ὡς ὁ Κύριος ἔπραξεν.
Τοῦτον οὖν συμπαράλαβε,
συμπρέσβυν καὶ ἅπαντας,
τοὺς Σαββαΐτας ὁσίους,
ὑπὲρ ἡμῶν ἱκετεύοντες,
τηρῆσαι συνθήκας,
θείου Σχήματος καὶ οὕτω,
Χριστὸν ὑψώμεθα.

Δόξα. Ἦχος πλ. δ΄.

Ὁ ἐν ἑκάστῃ γενεᾷ ὡς φωστῆρας,
τῇ Ἐκκλησίᾳ τοὺς Ἁγίους ἀναδεικνύων,
Φιλάνθρωπος Δεσπότης Χριστός,
καὶ σὲ ἀνέδειξε σελασφόρον ἀστέρα,
παμμακάριστε Στέφανε,
ἐκ τοῦ ἀδύτου φωτὸς Αὐτοῦ αὐγαζόμενον,
καὶ ὡς κάτοπτρον παγκάθαρον θείας ἀνταυγείας
τῆς ἀσκητικῆς σου πολιτείας,
θαυμαστῶς ἡμῖν ἀντανακλῶντα.
Ἃς καταξίωσον πάντας τοὺς τιμῶντάς σε ἰδεῖν,
ἀνακεκαλυμμένῳ προσώπῳ,
ἐν τῇ ἐπουρανίῳ Σιών, ὁσιώτατε.

Καὶ νῦν, τῆς ἑορτῆς, ὁ αὐτός. Ἀνατολίου.

Τῶν θυρῶν κεκλεισμένων,
τῶν Μαθητῶν συνθροισμένων,
ἐπέστη ὁ Σωτήρ, οὗ ἦσαν συνηγμένοι·
καὶ στὰς ἐν μέσῳ αὐτῶν, λέγει τῷ Θωμᾷ·

Δεῦρο ψηλάφησον, καὶ ἴδε τοὺς τύπους τῶν ἥλων·
ἔκτεινόν σου τὴν χεῖρα, καὶ ἄψαι τῆς πλευρᾶς μου,
καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πίστει κήρυξον,
τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τοῦ πατρὸς ἡμῶν Σάββα,
τέκνον ἄξιον γέγονας,
Στέφανε ἐρήμου τὸ κλέος,
καὶ ἀσκήσεως πρότυπον.
Διό σοι ὁ φιλόψυχος Χριστός,
χαρίσματα δεδώρηται πολλά,
ἃ ὁρῶντες ἐκβοῶμεν ἀπὸ ψυχῆς,
οἱ πόθῳ ἀνυμνοῦντές σε·
Δόξα τῷ ἐκ παιδός σε θαυμαστῶς,
Πάτερ καθαγιάσαντι,
καὶ μοναζόντων ὁδηγόν,
ἔμπειρον ἀναδείξαντι.

ἕτερον κοινὸν μετὰ καὶ τοῦ ὁσίου Μαρτυρίου
Ἦχος γ΄. Θείας Πίστεως.
Χαίρει ἔχουσα τοῦ θείου Σάββα,
Λαύρα σύνδυο ὑμᾶς ἱκέτας,
πρὸς τὸν Σωτῆρα, Πατέρες πανόσιοι,
Στέφανε μάκαρ καὶ Μαρτύριε ἔνδοξε,
τοὺς ἐν ἀσκήσει λαμπρῶς διαλάμψαντας,
καὶ ἐν θαύμασιν,
ὑπερφυέσι τελέσαντας,
τὸν βίον ἐν αὐτῇ τὸν ἰσάγγελον

Τῆς ἑορτῆς. Ἦχος βαρύς.
Αὐτόμελον.

Ἐσφραγισμένου τοῦ μνήματος,

www.tezaurliturgic.ro

ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας, Χριστὲ ὁ Θεός·
καὶ τῶν θυρῶν κεκλεισμένων,
τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις,
πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν,
κατὰ τὸ μέγα σου ἔλεος.

Ἀπόλυσις





ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀνάκτορον τερπνὸν τοῦ Δεσπότου ὡράθης,
ἐν ᾧ αἱ ἀρεταὶ ἀνεπαύθησαν πᾶσαι,
μακάριε Στέφανε,
θείου Σάββα ἀπείκασμα·
ὅθεν ἔλαμψας ἐν τῇ ἐρήμῳ μεγάλως,
καὶ ἐδόξασας τῷ φιλοχρίστῳ σου βίῳ,
τὸν σὲ θαυμαστώσαντα.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῷ φόβῳ τῶν Ἑβραίων,
κεκρυμμένων τῶν Μαθητῶν,
καὶ ἐν τῇ Σιὼν συνηγμένων,
εἰσῆλθες πρὸς αὐτοὺς Ἀγαθέ,
καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν,
ἐν μέσῳ αὐτῶν χαροποιός,
καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας,
καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας,
λέγων τῷ ἀπιστοῦντι Μαθητῇ·
Φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα,
ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός.

Μετὰ τὴν β΄ στιχολογίαν.
Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Ἐκ καρδίας σου ὅλης καὶ τῆς δυνάμεως,
τὸν Χριστὸν ἀγαπήσας, ὅσιε Στέφανε,
ὡς μαθηταὶ ἐν τῷ Θαβὼρ φωτὶ συγκέκρασαι,
καὶ θαυμάτων ἐναργῶν,
γέγονας μέγας αὐτουργός,
τοῦ Πνεύματος τῇ δυνάμει,
Ὅπερ οἰκῆσαν ἐν ψυχῇ σου,
τῷ Μαρτυρίῳ σὲ ἐγνώρισεν.

Δόξα. Καὶ νῦν.Τῆς ἑορτῆς. Ὁ αὐτός.

Τὸν ἀπόστολον πάντες καὶ μαθητὴν τοῦ Χριστοῦ,
εὐφημήσωμεν ὕμνοις ἐπὶ τῇ μνήμῃ αὐτοῦ,
θεοπρεπῶς γὰρ τὰς ἡμῶν
διανοίας αὐτός,
τύπους τῶν ἡλων ψηλαφῶν,
βεβαίαν πίστιν ἐκζητῶν,
ἐστήριξεν ἐν τῷ κόσμῳ,
καὶ δυσωπεῖ τὸν Σωτῆρα,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Οὐδὲν ἀδύνατον Κυρίῳ πέφυκεν,
ὅστις χαρίσματα ποικίλα δίδωσι,
τοῖς τὰ προστάγματα Αὐτοῦ,
φυλάττουσι φιλοτίμως·
ὅθεν καὶ τὸν Στέφανον,
θαυμαστῶς κατεκόσμησε,
νόμους τοὺς τῆς φύσεως,
ὑπερβάντα καὶ δείξαντα,
τὴν χάριν ἣν πρωτόπλαστος εἶχεν,
ἐν Παραδείσῳ πρὸ τῆς πτώσεως.

Δόξα. Καὶ νῦν.Τῆς ἑορτῆς.
Ἦχος α΄.Τὸν τάφον σου, Σωτήρ.

Ἰδών μου τὴν πλευράν,
καὶ τὰς τρήσεις τῶν ἥλων,
Θωμᾶ, τί ἀπιστεῖς, τῇ ἐμῇ Ἀναστάσει;
ὁ Κύριος ἔλεγεν ἀναστὰς ἐκ τοῦ μνήματος,
ὀπτανόμενος, τοῖς Ἀποστόλοις ἀῤῥήτως·
ὁ δὲ Δίδυμος, πεισθεὶς ἐβόα τῷ Κτίστῃ·
Θεός μου εἶ καὶ Κύριος.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Εὐαγγέλιον, ὁσιακόν· τοῦ Ὀρθρου τοῦ ὁσίου Σάββα.
Ἀνάστασιν Χριστοῦ θεασάμενοι.
Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β.
Στίχ. Ἐλέησόν με ὁ Θεός....

Ἐκ λογικῶν ἀνθέων στέφανον καταπλέξαντες,
τὴν θεοστεφάνωτον κάραν σου, Στέφανε,
κατακοσμοῦμεν,
ὅτι ἐν τῇ χριστοφιλήτῳ πολιτείᾳ σου,
τὴν δύναμιν ἀπέδειξας τοῦ Ἀναστάντος Χριστοῦ,
Ὃν ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῆς Μετανοίας σου,
ὅπως ἄχρι τέλους αἰώνων, Ἁγίους ἀπεργάζηται.
Σῶσον ὁ Θεὸς τὸν λαόν σου, κλπ.

Ὁ Κανὼν τῆς λαμπροφόρου Ἀναστάσεως.
Ποίημα ὁσίου Ἰωάννου Δαμασκηνοῦ, τοῦ
Ἁγιοσαββαΐτου.
Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί·
Πάσχα Κυρίου, Πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωήν,
καὶ ἐκ γῆς πρὸς οὐρανόν,
Χριστὸς ὁ Θεός,
ἡμᾶς διεβίβασεν,
ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις,
καὶ ὀψόμεθα,
τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως,
Χριστὸν ἐξαστράπτοντα,
καί, Χαίρετε, φάσκοντα,
τρανῶς ἀκουσόμεθα,
ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν,
γῆ δὲ ἀγαλλιάσθω,
ἑορταζέτω δὲ κόσμος,
ὁρατός τε ἅπας καὶ ἀόρατος·

Χριστὸς γὰρ ἐγήγερται,
εὐφροσύνη αἰώνιος.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:
"Στέφανον ὑμνῶ, τέκνον τοῦ θείου Σάββα .Ἀ(θανάσιος)"
Ἦχος καὶ εἱρμοὶ οἱ αὐτοί.

Στεφανοῦμέν σε ἐν ὕμνοις,
ἀσκητὰ τοῦ Χριστοῦ,
Λαύρας ἡμῶν τὸ κλέος,
Σάββα ἐκμίμημα τερπνόν,
τὸν ἐπάραντα σοφῶς,
ζυγὸν ἐλαφρόν,
ἐκ πρώτης νεότητος,
ὁσιώτατε Στέφανε.

Τὰ τερπνὰ τοῦ κόσμου τούτου,
ὡς φορτίον βαρύ,
Στέφανε ἀπεστράφης,
καὶ ὡς στρουθὸς ἐρημικός,
καλιὰν ἀσκητικήν ἐν Λαύρᾳ ἡμῶν,
πανόσιε ἔπηξας,
Ζαχαρίαν ἔχων πύκτην σου.

Ἐκ καρδίας σου Δεσπότην,
ἀγαπήσας θερμῶς,
Στέφανε ἀνεδείχθης,
ὑπακοῆς ὑπογραμμός,
καὶ Αὐτῷ ἀκολουθῶν,
ἐξ ὅλης ψυχῆς,
Πατρὶ ὑπακούσαντι,
καὶ ἡμᾶς ἐλευθερώσαντι.

Θεοτοκίον

Φαιδρυνθέντες Ἀναστάσει,
τοῦ Υἱοῦ σου Σεμνή,

Στέφανον ἐπαινοῦμεν,
τὸν ἀγαπήσαντα Αὐτόν,
καὶ παντοίων ἀρετῶν,
φανέντα λαμπρόν,
Ἀγνὴ οἰκητήριον,
καὶ ἀσκήσεως καύχημα.

Καταβασία.

Ἀναστάσεως ἡμέρα,
λαμπρυνθῶμεν Λαοί·
Πάσχα Κυρίου, Πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωήν,
καὶ ἐκ γῆς πρὸς οὐρανόν,
Χριστὸς ὁ Θεός,
ἡμᾶς διεβίβασεν,
ἐπινίκιον ᾄδοντας.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν,
οὐκ ἐκ πέτρας ἀγόνου,
τερατουργούμενον,
ἀλλ' ἀφθαρσίας πηγήν,
ἐκ τάφου ὁμβρήσαντος Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός,
οὐρανός τε καὶ γῆ,
καὶ τὰ καταχθόνια·
ἑορταζέτω γοῦν πᾶσα κτίσις,
τὴν Ἔγερσιν Χριστοῦ,
ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι, Χριστέ,
συνεγείρομαι σήμερον,
ἀναστάντι σοι·
συνεσταυρούμην σοι χθές·

αὐτός με συνδόξασον, Σωτήρ,
ἐν τῇ Βασιλείᾳ σου.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἄνδρα σε εἰδὼς θεῖος Κοσμᾶς,
πλήρη χάριτος μέλλον σου προεφήτευσε,
καὶ γὰρ ἐργάτας ἀρετῆς,
ὁ Χριστὸς ὑπερτιμᾷ σημείοις πολλοῖς,
καὶ τούτοις τὸν στέφανον,
ἐπιδίδωσι Στέφανε.

Νοῦν ἀπὸ παιδὸς ἔχων Χριστοῦ,
πάτερ Στέφανε Τούτῳ κατηκολούθησας,
μὴ παρεκκλίνας παντελῶς,
ἀλλὰ τρίβους τῆς ζωῆς βαδίσας στερρῶς,
διὸ εἰσελήλυθας,
Βασιλείας τὰ δώματα.

Θεοτοκίον

Νίκησον τὸ σκότος τῶν παθῶν,
τῷ φωτὶ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε,
καὶ οἶκον δεῖξόν με λαμπρόν,
ἐν ᾧ ἀναπαύσεται ἀεί,
Τριὰς ἡ ὑπέρθεος.

Καταβασία.

Δεῦτε πόμα πίωμεν καινόν,
οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,
ἀλλ' ἀφθαρσίας πηγήν,
ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Κοντάκιον τοῦ Πάσχα. Ἦχος πλ. δ΄. Αὐτόμελον.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε,

ἀλλὰ τοῦ ᾍδου καθεῖλες τὴν δύναμιν·
καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός,
γυναιξὶ Μυροφόροις φθεγξάμενος· Χαίρετε,
καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Κάθισμα τοῦ Ὁσίου .Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀμνὸς ὥσπερ ἄμωμος,
προσανετέθης Χριστῷ,
πανόσιε Στέφανε,
καὶ τῆς ἐρήμου βλαστός,
πολύκαρπος γέγονας.
Φύσεως ὑπερέβης,
θείᾳ χάριτι ὅρους,
δείξας οἵους δεικνύει,
τοὺς πιστοὺς ὁ Δεσπότης,
τηροῦντας τὰς Αὐτοῦ ἐντολάς,
καὶ τὰ προστάγματα.

Δόξα. Καὶ νῦν.Τῆς ἑορτῆς, ὅμοιον.

Τὰς θύρας ἠνέῳξας τοῦ ὑπερῴου, Χριστέ,
εἰρήνην ἁγίαν σου τοῖς Μαθηταῖς παρασχών,
Θωμᾷ δὲ ἐβόησας·
δεῦρο ψηλάφησόν με, καὶ ἀκλόνητον ἔχε,
πίστιν ὅτι ὑπάρχω, ὁ σταυρὸν ὑπομείνας,
καὶ θάνατον ἐπάτησα, τῇ Ἀναστάσει μου.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς,
ὁ θεηγόρος Ἀββακούμ,
στήτω μεθ’ ἡμῶν καὶ δεικνύτω,
φαεσφόρον Ἄγγελον,
διαπρυσίως λέγοντα·
Σήμερον σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη Χριστὸς ὡς Παντοδύναμος.

Ἄρσεν μέν, ὡς διανοῖξαν,
τὴν παρθενεύουσαν νηδύν,
πέφηνε Χριστός·
ὡς βρωτὸς δὲ ἀμνὸς προσηγόρευται·
ἄμωμος δέ, ὡς ἄγευστος κηλῖδος,
τὸ ἡμέτερον Πάσχα·
καὶ ὡς Θεὸς ἀληθής,
τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνός,
ὁ εὐλογούμενος ἡμῖν,
στέφανος χρηστὸς ἐκουσίως,
ὑπὲρ πάντων τέθυται,
Πάσχα τὸ καθαρτήριον·
καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος,
δικαιοσύνης ἡμῖν,
ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ,
πρὸ τῆς σκιώδους Κιβωτοῦ,
ἥλατο σκιρτῶν·
ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος,
τὴν τῶν συμβόλων ἔκβασιν ὁρῶντες,
εὐφρανθῶμεν ἐνθέως,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ὑπηρετῶν ἀπὸ ψυχῆς,
ταῖς χρείαις Λαύρας ὡς Θεῷ,
οὕτως διηκόνεις προθύμως,
θεοφόρε Στέφανε,
ἡσύχαζες εὐχόμενος,
καὶ εἰρηνικῶς διετέλεις,
ἔχων ἐν σοὶ τὴν χάριν τοῦ Πνεύματος.

Μὴ ὑπομένων ἀδελφῶν,

ἐπαίνους Στέφανε δεινῶς,
ἤλγεις τὴν καρδίαν σωφρόνως,
διὰ τοῦτο ᾔτησας,
τὴν μόνωσιν φυλάξαί σου,
ἄσυλον τὴν ταπεινοφροσύνην,
δι' ἧς ἡ χάρις Χριστοῦ πιστοῖς ἀναπαύεται.

Νεανικῶς ἐπιδοθείς,
τοῖς τῆς ἀσκήσεως σκυλμοῖς,
εἵλκυσας δαιμόνων τὸν φθόνον·
διὰ τοῦτο Κύριος,
παιδευτικῶς ἀφῄρησε,
χάριν ὅπως ταύτην μειζόνως,
πάλιν παράσχῃ πειράζων τὴν ἀγάπην σου.

Θεοτοκίον

Ὥσπερ ἐπένθησας τὸ πρίν,
νῦν χαῖρε βλέπουσα Υἱόν,
Ἄχραντε, λαμπρῶς ἀναστάντα,
καὶ τοῦ ᾅδου λύσαντα,
τὸ σκοτεινὸν βασίλειον,
πᾶσι τοῖς πιστοῖς παρασχόντα,
ἀθανασίαν καὶ πλοῦτον τῆς χάριτος.

Καταβασία.

Ἐπὶ τῆς θείας φυλακῆς,
ὁ θεηγόρος Ἀββακούμ,
στήτω μεθ' ἡμῶν καὶ δεικνύτω,
φαεσφόρον Ἄγγελον,
διαπρυσίως λέγοντα·
Σήμερον σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὠδή ε'. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος,

καὶ ἀντὶ μύρου τὸν ὕμνον,
προσοίσωμεν τῷ Δεσπότῃ·
καὶ Χριστὸν ὀψόμεθα,
δικαιοσύνης ἥλιον,
πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν,
οἱ ταῖς τοῦ Ἅδου σειραῖς,
συνεχόμενοι δεδορκότες,
πρὸς τὸ φῶς ἠπείγοντο,
Χριστέ, ἀγαλλομένῳ ποδί,
Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι,
τῷ προϊόντι Χριστῷ,
ἐκ τοῦ μνήματος ὡς νυμφίῳ,
καὶ συνεορτάσωμεν,
ταῖς φιλεόρτοις τάξεσι,
Πάσχα Θεοῦ τὸ σωτήριον.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Τρωθεὶς τὴν καρδίαν ἀγάπῃ,
τοῦ Ἰησοῦ πρὸς Αὐτὸν ἔφης Στέφανε·
μὴ ἐπάρῃς, Κύριε,
τὴν σκέπην τῆς προνοίας σου,
ὅτι οὐ στέρξω ταύτης στέρησιν.

Ὁ πόθος ἀσκήσεως πλείστης,
εἰς ἐνδοτάτην σε ἔρημον ἤγαγεν,
ἔνθα Εὐαγγέλιον,
τροφή σοι ἦν ὦ Στέφανε,
ἐν θεωρίᾳ σχολάζοντι.
Ὑπέμεινας ἐχθρῶν τοὺς πολέμους,
ἐπικαλούμενος, Στέφανε, τὸν Δεσπότην,
Ὅστις σε ἐῤῥύσατο,
ἐκ παραδόξου ἅρσεως,
μετὰ δακρύων προσευξάμενον.

Θεοτοκίον

Θεὸν ὥσπερ ἄνθρωπον ᾅδης,
τὸν σὸν Υἱὸν δεδεγμένος Παρθένε,
σπλάγχνα διεσπάρακται,
καὶ παντελῶς νενίκηται,
πᾶσι γενόμενος θέατρον.

Καταβασία.

Ὀρθρίσωμεν ὄρθρου βαθέος,
καὶ ἀντὶ μύρου τὸν ὕμνον,
προσοίσωμεν τῷ Δεσπότῃ·
καὶ Χριστὸν ὀψόμεθα,
δικαιοσύνης ἥλιον,
πᾶσι ζωὴν ἀνατέλλοντα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Κατῆλθες, ἐν τοῖς κατωτάτοις τῆς γῆς,
καὶ συνέτριψας μοχλοὺς αἰωνίους,
κατόχους πεπεδημένων Χριστέ,
καὶ τριήμερος,
ὡς ἐκ κήτους Ἰωνᾶς,
ἐξανέστης τοῦ τάφου.

Φυλάξας, τὰ σήμαντρα σῷα Χριστέ,
ἐξηγέρθης τοῦ τάφου,
ὁ τὰς κλεῖς τῆς Παρθένου,
μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου,
καὶ ἀνέῳξας ἡμῖν,
Παραδείσου τὰς πύλας.

Σῶτέρ μου, τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον,
ὡς Θεός, σεαυτὸν ἑκουσίως,
προσαγαγὼν τῷ Πατρί, συνανέστησας,
παγγενῆ τὸν Ἀδάμ,

ἀναστὰς ἐκ τοῦ τάφου.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἐρήμου, Νεκρᾶς θαλάσσης ἰδών,
τὸ ἡσύχιον ὦ Στέφανε ἔμεινας,
ἐν ταύτῃ ὑπὲρ τὴν φύσιν βιῶν,
καὶ νεκρούμενος τῇ ζωώσει Χριστοῦ,
παντελῶς ἠλλοιώθης
Ἰσόπαλον, σὲ ἐν τῇ ἀσκήσει εὑρών,
ὁ Μαρτύριος μεγάλως εὐξάμενος,
συνήφθη σοι ἐν ἀγάπῃ Χριστοῦ,
καὶ σημείων φρικτῶν,
τελεστὴς ἐγεγόνει.

Οὐ θύραι, καὶ τῶν κλείθρων ἰσχύς,
ἐνεπόδισαν Μαρτύριον θεῖον,
σοὶ παραδόξως ἐλθεῖν,
καὶ συνεύξασθαι ἐν σπηλαίῳ τῷ σῷ,
ὡς ὁ Κύριος οἶδεν.

Θεοτοκίον

Ὑπέμεινας, τὴν ἀλγηδόνα σταυροῦ,
καθὼς ἔφη Συμεών σοι τὸ πάλαι,
ἀλλ' ἴδε Παρθενομῆτορ Υἱόν,
ἀναστάντα ἐκ νεκρῶν,
καὶ φαιδρύνου μεγάλως.

Καταβασία.

Κατῆλθες,
ἐν τοῖς κατωτάτοις τῆς γῆς,
καὶ συνέτριψας μοχλοὺς αἰωνίους,
κατόχους πεπεδημένων Χριστέ,
καὶ τριήμερος,
ὡς ἐκ κήτους Ἰωνᾶς,
ἐξανέστης τοῦ τάφου.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τὸν Ἰησοῦν ἀπὸ παιδὸς ἀγαπήσας,
ἠρνησαι κόσμου τὰ τερπνὰ καὶ ἡδέα,
καὶ θείου Σάββα Στέφανε,
τὴν Λαύραν κατοικεῖς,
ἔνθα ἐπετέλεσας,
θαυμαστῶς σοὺς ἀγῶνας,
καὶ πολλῶν ἠξίωσαι,
ἐκ Θεοῦ χαρισμάτων·
ὅθεν εὐχαῖς πλουτίσατε ἡμᾶς,
σὺν Μαρτυρίῳ,
τῷ θείῳ συνάθλῳ σου.

Ὁ Οἶκος

Ὁ τὰς καρδίας προειδὼς ἁπάντων τῶν ἀνθρώπων,
καὶ σοῦ γινώσκων τὸ εὔκαρπον μέλλον,
καὶ τῆς ψυχῆς σου τὸ χριστόφλεκτον,
ὡς ἄμωμον ἀμνόν σε, Στέφανε, ἐκ παιδὸς ἐκάλεσεν,
ᾖραι προθύμως τὸν χρηστὸν ζυγὸν Αὐτοῦ·
ὅθεν τῇ ὁδηγίᾳ τοῦ ὑπαλείπτου σου Ζαχαρίου,
ἄριστα τὴν ἀσκητικὴν ὁδὸν στοιχειωθείς,
ὡς φοίνιξ ὑψίκομος ἡσυχίας διέλαμψας,
ἐν τῇ τοῦ θείου Σάββα ἱερᾷ Λαύρᾳ,
καὶ εἶτα ὡς πελεκὰν ὁσιακὸς ἐν ἐρημίᾳ κατασκηνώσας,
πολλῶν ὑπὲρ φύσιν χαρισμάτων ἠξιώθης
παρὰ τοῦ ἀθλοθέτου καὶ στεφοδότου Δεσπότου,
σὺν Μαρτυρίῳ,
τῷ θείῳ συνάθλῳ σου.

Τὸ Συναξάριον

Τῇ αὐτῇ ἡμέρᾳ, Τρίτῃ τῆς ἑβδομάδος τοῦ Θωμᾶ, Μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου καὶ

θεοφόρου πατρὸς ἡμῶν Στεφάνου, τοῦ θαυματουργοῦ, τέκνου κατὰ πνεῦμα γνησίου τοῦ Ὁσίου πατρός, ἐφόρου καὶ δομήτορος τῆς Ἱερᾶς Λαύρας ἡμῶν Σάββα τοῦ ἡγιασμένου, ἔτι δὲ καὶ τοῦ συνασκητοῦ αὐτοῦ ὁσίου Μαρτυρίου τοῦ σημειοφόρου.

Στίχοι

Στέφανον φορεῖς, Στέφανε, τῶν Ὁσίων,
Ὃνπερ ἔπλεξας ἀσκητικοῖς ἀγῶσι.

Μαρτυρεῖς, Μαρτύριε, χάριν Κυρίου,
Ἣν Αὐτοῦ δούλοις δωρεῖται ὑπερμέτρως.

Χαίροις μεγάλως, Σάββα Ἡγιασμένε,
Καὶ ἄλλο δύανθος προσφέρων Δεσπότῃ.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος,
γενόμενος ἄνθρωπος,
πάσχει ὡς θνητός,
καὶ διὰ πάθους τὸ θνητόν,
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν Πατέρων,
Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες,
ὀπίσω σου ἔδραμον·
ὃν δὲ ὡς θνητόν,
μετὰ δακρύων ἐζήτουν,
προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν,

καὶ Πάσχα τὸ μυστικόν,
σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν,
ᾅδου τὴν καθαίρεσιν,
ἄλλης βιοτῆς,
τῆς αἰωνίου ἀπαρχήν,
καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον,
τὸν μόνον εὐλογητὸν τῶν Πατέρων,
Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος,
αὕτη ἡ σωτήριος,
νὺξ καὶ φωταυγής,
τῆς λαμπροφόρου ἡμέρας, τῆς Ἐγέρσεως,
οὖσα προάγγελος,
ἐν ᾗ τὸ ἄχρονον φῶς,
ἐκ τάφου σωματικῶς,
πᾶσιν ἐπέλαμψεν.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Σελίνοις πατέρας διέθρεψας,
εἰς θάνατον πελάσαντας,
Στέφανε κλεινέ,
ὡς καὶ δορκάδας σαῖς χερσίν,
τὴν τροφὴν θαυμαστῶς διεμέριζες,
δηλῶν τοῦ Ἀδὰμ ἃς περ εἶχε,
ἐν Ἐδὲμ πρὸ τῆς πτώσεως χάριτας.
Ἀράβων τῆς μανίας διέσωσας,
ἐπίσκοπον καὶ ἔδειξας,
Στέφανε τρανῶς,
φιλοξενίας ἀρετήν,
παραθεὶς ὡς αὐτὸς ἐπεθύμησεν,
ἰχθεῖς τεταριχευμένους,
ἐν τῇ ἐρήμῳ ὡς ὁ Κύριος.

Βατή σοι, ἡ Νεκρά, πάτερ, θάλασσα

γέγονε καὶ ἔλυσε,
τῶν συνασκητῶν,
ἀμφιβολίαν τῆς ψυχῆς,
καὶ νοὸς θροϊσμὸν ἀπαράδεκτον,
ὑμνούντων μετὰ τοῦτο,
τὸν μόνον Παντοδύναμον.

Θεοτοκίον

Βιβλίῳ τῆς ζωῆς με κατάγραψον,
Κόρη παναμώμητε,
χεῖρας μητρικάς,
ὑψοῦσα πρὸς τὸν Ἀγαθόν,
καὶ Φιλάνθρωπον Κύριον, δέομαι,
σφαλμάτων μου πλῆθος παρορῶσα,
καὶ φύσεως ἀσθένειαν.

Καταβασία.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος,
γενόμενος ἄνθρωπος,
πάσχει ὡς θνητός,
καὶ διὰ πάθους τὸ θνητόν,
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν Πατέρων,
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν Σαββάτων,
ἡ βασιλὶς καὶ κυρία,
ἑορτῶν ἑορτή,
καὶ πανήγυρίς ἐστι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν,
Χριστόν, εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,

τῆς θείας εὐφροσύνης,
ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως,
βασιλείας τε Χριστοῦ κοινωνήσωμεν,
ὑμνοῦντες αὐτόν,
ὡς Θεὸν εἰς τοὺς αἰῶνας.
Ἆρον κύκλῳ,
τοὺς ὀφθαλμούς σου Σιὼν καὶ ἴδε·
ἰδοὺ γὰρ ἥκασί σοι,
θεοφεγγεῖς ὡς φωστῆρες,
ἐκ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης,
καὶ ἑῴας τὰ τέκνα σου,
ἐν σοὶ εὐλογοῦντα,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ,
καὶ Λόγε, καὶ Πνεῦμα,
τρισὶν ἑνιζομένη,
ἐν ὑποστάσεσι φύσις,
ὑπερούσιε καὶ ὑπέρθεε,
εἰς σὲ βεβαπτίσμεθα,
καὶ σὲ εὐλογοῦμεν,
εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Αὔγασμα πυρὸς μυστικοῦ ἐγεγόνεις,
ὁλολαμπὴς τὴν ὄψιν,
ἐνέργειαν δεικνύων,
τοῦ οἰκοῦντος ἐν σοί,
Παρακλήτου, τρισόλβιε Στέφανε,
δι’ Οὗ καὶ προεώρας,
τὰ μέλλοντα ὡς ὄντα.

Τύφλωσιν βαλὼν παραδόξως βαρβάροις,
παρθένους τοῦ Κυρίου,
ἐφύλαξας ἀφθόρους,
καὶ κλειδὶ τῆς εὐχῆς,
Βαπτιστοῦ τοῦ ναοῦ θύρας ἠνοιξας,

Στέφανε καὶ ὕδωρ,
ἀνέβλυσας πολλάκις,

Ἐνδομυχικῶς εὐκτικὸν ἔχων λόγον,
ὡς Μωϋσῆς ἐβόας,
Στέφανε τῷ Δεσπότῃ,
Ὅστις σοὶ τὰ κρυπτῶς,
φανερῶς καὶ σαφῶς ἀπεκάλυπτεν,
εἰς πληροφορίαν,
τῶν σὲ ἐπερωτώντων.

Θεοτοκίον

Κύκλῳ τῆς ψυχῆς οἱ ἐχθροί με ὀχλοῦσι,
Πανάχραντε Παρθένε,
ἐπιζητοῦντες χωρίσαι,
γλυκυτάτου Χριστοῦ,
διὸ πόθῳ πολλῷ ἱκετεύω σε,
τούτους ὥσπερ νέφη,
διάλυσον εὐχαῖς σου.

Καταβασία.

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.
Αὕτη ἡ κλητή,
καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν Σαββάτων,
ἡ βασιλὶς καὶ κυρία,
ἑορτῶν ἑορτή,
καὶ πανήγυρίς ἐστι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Φωτίζου, φωτίζου,
ἡ νέα Ἰερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου,
ἐπὶ σὲ ἀνέτειλε.
Χόρευε νῦν, καὶ ἀγάλλου Σιών·
σὺ δὲ ἁγνή,
τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
Μεγάλυνον ψυχή μου τὸν ἐξαναστάντα, τριήμερον
ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.
Φωτίζου, φωτίζου,
ἡ νέα Ἰερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου,
ἐπὶ σὲ ἀνέτειλε.
Χόρευε νῦν, καὶ ἀγάλλου Σιών·
σὺ δὲ ἁγνή,
τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα,
ἀμνὸς Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου.
Ὢ θείας! ὢ φίλης!
ὢ γλυκυτάτης σου φωνῆς!
μεθ' ἡμῶν ἀψευδῶς γάρ,
ἐπηγγείλω ἔσεσθαι,
μέχρι τερμάτων αἰῶνος, Χριστέ·
ἣν οἱ πιστοί,
ἄγκυραν ἐλπίδος,
κατέχοντες ἀγαλλόμεθα.

Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει, ὅτι
Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.
Ὢ θείας! ὢ φίλης!
ὢ γλυκυτάτης σου φωνῆς!
μεθ' ἡμῶν ἀψευδῶς γάρ,
ἐπηγγείλω ἔσεσθαι,
μέχρι τερμάτων αἰῶνος, Χριστέ·
ἣν οἱ πιστοί,

ἄγκυραν ἐλπίδος,
κατέχοντες ἀγαλλόμεθα.

Μεγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.
Ὢ Πάσχα τὸ μέγα,
καὶ ἱερώτατον, Χριστέ·
ὦ Σοφία καὶ Λόγε,
τοῦ Θεοῦ καὶ Δύναμις·
δίδου ἡμῖν ἐκτυπώτερον,
σοῦ μετασχεῖν,
ἐν τῇ ἀνεσπέρῳ,
ἡμέρᾳ τῆς βασιλείας σου.

Χαῖρε, Παρθένε, χαῖρε· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.
Ὢ Πάσχα τὸ μέγα,
καὶ ἱερώτατον Χριστέ·
ὦ Σοφία καὶ Λόγε,
τοῦ Θεοῦ καὶ Δύναμις·
δίδου ἡμῖν ἐκτυπώτερον,
σοῦ μετασχεῖν,
ἐν τῇ ἀνεσπέρῳ,
ἡμέρᾳ τῆς βασιλείας σου.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Μεγάλυνον ψυχή μου, Στέφανον τῆς Λαύρας, Σάββα ἡγιασμένου, τὸν ὅρπηκα τὸν θεῖον.
Νικήσας ἐνδόξως,
Στέφανε νίκην εὐκλεᾶ,
τῷ Κυρίῳ συνήφθης,
Ὃν ἐν βίῳ ἔσχηκας,
πόθον καὶ ἔρωτα καὶ γλυκασμὸν,
νῦν δὲ τροφήν,
βρῶσίν τε καὶ πόσιν,
καὶ ἀγαλλίασιν ἀνείκαστον.

Μεγάλυνον ψυχή μου, ἀσκητῶν τὸ κλέος,
καὶ θαῦμα τῆς ἐρήμου, Στέφανον χριστοφόρον.
Ὁράσεως θείας,
Στέφανε καὶ ἀγγελικῆς,
ἠξιώθης πρὸ τέλους,
συνεχῶς εὐχόμενος,
καὶ ἐπειπὼν τό· Ἀμήν, ἐν χαρᾷ,
ἐν ταῖς χερσὶν τοῦ καλοῦ Δεσπότου,
τὴν σὴν ψυχὴν παραδέδωκας.

Δόξα. Μεγάλυνον ψυχή μου, Στέφανον τὸν βίῳ,
δοξάσαντα Τριάδα, Θεὸν Ὃν προσκυνοῦμεν.
Νῦν οὐκ ἐν ἐσόπτρῳ,
Στέφανε βλέπων τὸν Χριστόν,
ὑπερεύχου σῆς Λαύρας,
τῆς κοινῆς γεννήτορος,
καὶ τῶν ἐν πνεύματι σῶν ἀδελφῶν,
μνήμην κλεινήν,
ὕμνοις σου τιμώντων,
καὶ δοξαζόντων τὸν Κύριον.

Καὶ νῦν. Μεγάλυνον ψυχή μου, Θεοτόκου λάτρην,
Στέφανον Σαββαΐτην, Ἁγίων Τόπων τέκνον.
Ἁγία Ἁγίων,
Στέφανον μέγαν ἀσκητήν,
σὺν πατρὶ θείῳ Σάββᾳ,
καὶ Ὁσίοις οἳτινες,
δρόμον ἐτέλεσαν θεοφιλῶς,
τὸν Ἰησοῦν,
τὸν γλυκὺν Δεσπότην,
ὑπὲρ ἡμῶν καθικετεύσατε.

Καταβασία.
Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε,
χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη
τριήμερος ἐκ τάφου.
Φωτίζου, φωτίζου,

ἡ νέα Ἰερουσαλήμ·
ἡ γὰρ δόξα Κυρίου,
ἐπὶ σὲ ἀνέτειλε.
Χόρευε νῦν, καὶ ἀγάλλου Σιών·
σὺ δὲ ἁγνή,
τέρπου Θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ἐξαποστειλάριον
Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Στέφανον εἴληφας λαμπρόν,
Στέφανε τῆς ἀσκήσεως,
καταμυρίζων σοῖς πόνοις,
τοὺς σὲ τιμῶντας ἐκ ψυχῆς,
καὶ δοξαζόντων ἐκ πόθου,
τὸν στεφοδότην Δεσπότην.

Τῆς ἑορτῆς, ὅμοιον.

Σήμερον ἔαρ μυρίζει,
καὶ καινὴ κτίσις χορεύει·
σήμερον αἴρονται κλεῖθρα,
θυρῶν καὶ τῆς ἀπιστίας,
Θωμᾶ τοῦ φίλου βοῶντος·
Ὁ Κύριος καὶ Θεός μου
ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ μακάριε Στέφανε,
ἀπὸ παιδὸς τῷ Χριστῷ,
ὡς ἀμνὸς ἠκολούθησας,
καὶ σαὐτὸν ὡς σφάγιον,
ὁλοθύμως ἀνέθηκας.
Σταυρὸν γὰρ ἄρας,
τὸν τῆς ἀσκήσεως,
λαμπρὸν δοχεῖον,

ὤφθης τῆς χάριτος·
ὅθεν τὸ κώδιον,
τοῦ Ἀδὰμ ἀπέβαλες τοῦ παλαιοῦ,
καὶ Χριστὸν ἐνδέδυσαι,
ὁλοτελῶς καινωθείς.

Ὡς νυκτικόραξ χριστόηχος,
ἐραστικαῖς σου ᾠδαῖς,
πρὸς γλυκύτατον Κύριον,
ἐκελάδεις Στέφανε,
καὶ Παράκλητον εἴλκυσας,
δι' Οὗ εἰργάσω,
ἄπειρα θαύματα,
καὶ προεώρας μέλλοντα γίνεσθαι·
ὅθεν ὡς νέον σε,
Σαμουὴλ τῆς χάριτος συμμονασταί,
Λαύρας Σάββα σήμερον,
φαιδρῶς γεραίρομεν.

Ὥσπερ θεόφυτον φοίνικα,
πολυκαρπίαν τερπνήν,
ἐξανθήσαντα Στέφανε,
ἐν ἐρήμῳ ἔγνωμεν,
καὶ πρεπόντως δοξάζομεν,
τὸν στεφοδότην Χριστὸν τὸν Κύριον,
Ὅστις δοξάζει, Αὐτὸν δοξάζοντας,
καὶ ἐξαιτούμεθα,
πατρικὰς πρεσβείας σου ἵνα καλῶς,
δρόμον τῆς ἀσκήσεως,
πάντες τελέσωμεν.

Ὦ παμμακάριστε Στέφανε,
ὡς θαυμαστοὶ ἀληθῶς,
οἱ ἱδρῶτες ἀσκήσεως,
καὶ ἡ ὑπερβάλλουσα,
πρὸς Δεσπότην ἀγάπησις,
ἅπερ καθ' ὥραν Αὐτῷ ἐδείκνυες,
πόνους τοῖς πόνοις, ἐπιβαλόμενος.

Νῦν δὲ ἱστάμενος,
ἐν Ἐδὲμ τρισόλβιε,
διηνεκῶς,
πρέσβευε δεόμεθα,
ὑπὲρ τῆς Λαύρας ἡμῶν.

Δόξα. Ἦχος πλ.α΄.

Τὸν ἀρετόπλεκτον ἀναδησάμενος στέφανον,
ὥσπερ βραβεῖον τῶν ἀσκητικῶν σου καμάτων,
τῆς πανηγύρεως προεξάρχεις σήμερον λαμπρῶς,
Στέφανε πανοσιώτατε,
καὶ καταφαιδρύνεις τοὺς συνασκητάς σου,
ὑμνοῦντας τοὺς ὑπέρ φύσιν ἀγῶνάς σου,
δι' ὧν ἐκληρονόμησας τὰ ἀγαθὰ τῆς ἄνω Σιών.
Ὅθεν μετὰ Σάββα τοῦ κατὰ πνεῦμα ἡμῶν σεπτοῦ
γενάρχου,
πρέσβευε δεόμεθα τοῦ Κυρίου,
ὥστε καὶ ἡμᾶς γενέσθαι, τοῦ Παραδείσου
οἰκήτορας.

Καὶ νῦν, ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ
πανηγύρει,
καὶ ἀλλήλους περιπτυξώμεθα.
Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς·
Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει,
καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου
Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον
τὰ ὁσιακά.

Μεγαλυνάρια

Χαίροις ὁ τῆς Χάριτος Σαμουήλ,

Στέφανε θεόφρον,
θείου Σάββα ὁ μιμητής,
τῆς ἐρήμου θρέμμα,
δόξα τῶν μοναζόντων,
σύναθλε τῶν Ὁσίων,
Ἁγίων σύσκηνε.

Χάριν ὑπὲρ φύσιν πεπλουτηκώς,
ἐκ παιδὸς Κυρίῳ,
πάτερ Στέφανε συνταγείς,
ἕως τελευτῆς σου,
ἀνακαινίζων ταύτην,
ἀγῶσιν ὑπερμέτροις,
θείας ἀσκήσεως.

Δύναται καὶ ἔρημος ἐν Χριστῷ,
υἱοὺς ἀναστῆσαι,
μαρτυροῦντας τρόπῳ παντί,
χάριν Παρακλήτου,
ἐν ᾗ ζωοποιοῦνται,
καὶ οὕτω φανεροῦσι,
ζωὴν τὴν μέλλουσαν.

Σάββα ἀγελάρχα Λαύρας τῆς σῆς,
τὴν πληθὺν Ὁσίων,
οὓς ἀνέδειξας ἐν αὐτῇ,
ἅμα τῷ Στεφάνῳ,
καὶ θείῳ Μαρτυρίῳ,
ἔχων ὡς συνευχέτας,
Χριστῷ πρεσβεύετε.

Στίχοι
Στέφανε Σάββα ἡγιασμένου τέκνον,
Ἄφεσιν αἴτει ἐμῶν ἁμαρτημάτων.

www.tezaurliturgic.ro



Ἐτελειώθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 19. 3. 2009.